A

## ΑΝΤΙΣΤΡΟΦΗ κώλων ί.

Χο. Ἀνὴρ ἀνηύρηκέν τι ταῖς
Σπονδαῖσιν ἡδύ. κοὐκ ἔοι-
κεν οὐδενὶ μεταδώσειν.
Δι. Κατάχει σὺ τῆς χορδῆς τὸ μέλι.
Τὰς σηπίας στάθευε.
Χο. Ἤκουσας ὀρθιασμάτων.
Δι. Ὀπτᾶτε τἀγχέλεια.
Χο. Ἀποκτενεῖς λιμῷ με καὶ
Τοὺς γείτονας, κνίσῃ τε καὶ
Φωνῇ τοιαῦτα λάσκων.

Σχόλια. Ἀνὴρ ἀνεύρηκεν] διπλαῖ. αὕτη γάρ ἐστιν ἡ περίοδος ὁμοίως τῇ ἀνωτέρᾳ ἑπτάκωλος ἀντιστρέφουσα. Μεταδώσειν.] τῶν σπονδῶν δηλονότι. στάθευε ἤγουν ὄπτα. Ὀρθιασμάτων.] ἀνατάσεως ῥημάτων. τῶν μετὰ βοῆς κόμπων, ἢ τῶν μελῶν. παρόσον ὄρθιος νόμος κιθαρῳδικός. Τἀγχέλεια.] ἢ λείπει τὰ κρέα ἵν' ᾖ τὰ ἐγχέλεια κρέα, ἢ λέγει τὰς ἐγχέλεις. λάσκων δὲ φωνῶν βοῶν.

## ANTISTROPHE Verſ. 10.

CH. Aliquid vir hic commentus eſt,
Quod commodum ſit fœderi:
Sed nil daturus ulli eſt.
DI. Infunde tu mel lactibus,
Et ſepias probè aſſa.
B CH. Audiſne verborum impetus?
DI. Anguillæ aſſentur iſtæ.
CH. Tu me atque vicinos fame
Nunc enecabis, de bono hoc
Nidore garriendo.

C

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ Σκηνὴ ἕκτη.

ΔΙΚΑΙΟΠΟΛΙΣ, ΠΑΡΑΝΥΜΦΟΣ, ΧΟΡΟΣ.

Δι. Ὀπτᾶτε ταυτὶ καὶ καλῶς ξανθίζετε.
Πα. Δικαιόπολι. Δι. τίς οὑτοσί; τίς οὑτοσί;
Πα. Ἔπεμψέ τίς σοι νυμφίος ταυτὶ κρέα
Ἐκ τῶν γάμων. Δι. καλῶς ποιῶν ὅς τις περ ἦν.
Πα. Ἐκέλευε δ' ἐγχέαι σε τῶν κρεῶν χάριν,
Ἵνα μὴ στρατεύοιτ', ἀλλὰ βινοίη μένων,
Ἐς τὸν ἀλάβαστρον κύαθον εἰρήνης ἕνα.
Δικαι. Ἀπόφερ', ἀπόφερε τὰ κρέα. καὶ μή μοι δίδου.
Ὡς οὐκ ἂν ἐγχέαιμι χιλίων δραχμῶν.
Ἀλλ' αὑτηί, τίς ἐστιν; Πα. ἡ νυμφεύτρια.
Δεῖται παρὰ τῆς νύμφης τί σοι λέξαι μόνῳ.
Δι. Φέρε δή, τί σὺ λέγεις; ὡς γελοῖον ὦ θεοὶ
Τὸ δέημα τῆς νύμφης. ὃ δεῖταί μου σφόδρα.
Ὅπως ἂν οἰκουρῇ τὸ πέος τοῦ νυμφίου.
Φέρε δεῦρο τὰς σπονδὰς ἵν' αὐτῇ δῶ μόνῃ.
Ὅτι ἡ γυνή 'στι τοῦ πολέμου τ' οὐκ ἀξία.
Ὕπεχ' ὧδε δεῦρο τοὐξάλειπτρον ὦ γύναι.
Οἶσθ' ὡς ποιεῖται τοῦτο; τῇ νύμφῃ φράσον,
Ὅταν στρατιώτας καταλέγωσι, τουτῳὶ
Νύκτωρ ἀλειφέτω τὸ πέος τοῦ νυμφίου.
Ἀπόφερε τὰς σπονδάς. φέρε τὴν οἰνήρυσιν.
Ἵν' οἶνον ἐγχέω λαβὼν, ἐς τοὺς χόας.
Χορός. Καὶ μὴν ὅδε τίς τὰς ὀφρῦς ἀνεσπακώς,
Ὥσπερ τι δεινὸν ἀγγελῶν ἐπείγεται.

Σχόλ. Ξανθίζετε.] οἷον τῷ μέλιτι χρίετε. ἢ πυρρὰ τῇ ὀπτήσει ποιεῖτε. ἢ γὰρ καλῶς ἔχουσα ὄπτησις τῶν κρεῶν ἐστίν, ὅταν πυρρὰ ᾖ. Δικαιόπολι.] ἔρχεται ἀνήρ τις παράνυμφος βαστάζων κρέα τῷ Δικαιοπόλιδι παρά τινος νυμφίου. καὶ αἰτεῖ αὐτὸν λαβεῖν ἐν βησίῳ μικρὸν τῆς εἰρήνης, ὅπως μὴ ἐξέρχοιτο εἰς πόλεμον ὁ νυμφίος, ἀλλὰ μένοι τερπόμενος σὺν τῇ γυναικὶ αὐτοῦ. Ἐγχέαι] ἐπιχεῖν, ἐπιβαλεῖν. τῶν κρεῶν ἤγουν ὧν ἔπεμψέ σοι. ἐς τὸν ἀλάβαστρον ἤγουν εἰς τὴν μυροθήκην

## ACTVS IV. SCENA sexta.

DICÆOPOLIS, PARANYMPHVS, CHORVS.

D DI. Aſſate vos hæc & probè rubefacite.
PA. Dicæopoli. DI. quis iſthic eſt? quis iſthic eſt?
PA. Has carnes ad te mittit ſponſus quiſpiam
E nuptiis. DI. pulcrè facit iſte, quiſquis eſt.
PA. Pro his iuſſit te ſibi in hunc alabaſtrum infundere
Cyathum vnicum pacis: vt à turba bellica
Immunis ſeſe cum ſponſa oblectet domi.
E DI. Aufer carnes, aufer: neque des eas mihi.
Nam pro mille drachmis non infunderem tibi.
Sed quænam hæc eſt? PA. pronuba, quæ ſponſæ nomine
Aliquid tibi ſoli dicere iam neceſſe habet.
DI. Agè, tu, quid dicis? quã ridicula, proh Deũ,
Iſthæc petitio ſponſæ: quòd me rogat,
Vt ſaltem ſponſi mentula maneat domi.
Fer huc mihi fœdera puer, vt huic ſoli duim.
F Quoniam mulier eſt, & indigna bello: agè
Vas vnguentarium tu ſuppone mulier,
Noſtin' quomodò hoc vtendum? dicito
Sponſæ, ſi quando conſcribantur milites,
Vt hac re noctu ſponſi inungat mentulam.
Aufer tu iterum fœdera, & vrnam vinariam
Cedo, vt capiam vinum atque infundã congijs.
CH. Sed & hic ſupercilijs elatis huc pedem
G Infert, quaſi rem ſit nunciaturus grauem.